# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β

*Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκ-* 1 1 Th 1,1.
*κλησίᾳ Θεσσαλονικέων ἐν θεῷ πατρὶ ἡμῶν καὶ*
*κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ* 2 R 1,7.
*θεοῦ πατρὸς [ἡμῶν] καὶ κυρίου Ἰησοῦ Χριστοῦ.*
*Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ* 3 2,13. 1 Th 1,2.3.
*ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυ-*
*ξάνει ἡ πίστις ὑμῶν καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς*

---

1,2 [ημων] : T—HW

2 K 7,4. Ap 1,9. 4 ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους, ὥστε αὐτοὺς
ἡμᾶς ἐν ὑμῖν ἐνκαυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις
τοῦ θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως
ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν
Ph 1,28. L 21,36. 5 αἷς ἀνέχεσθε, ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ
θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας
Ap 18,6.7. 6 τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε, εἴπερ δίκαιον
παρὰ θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς
Mt 25,31. 7 θλίψιν ' καὶ ὑμίν τοῖς θλιβομένοις ἄνεσιν μεθ'
ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ ἀπ'
R 2,8. Is 66,15. Jr 10,25. Ps 79,6. 8 οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως ˚αὐτοῦ ' **ἐν πυρὶ
φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσιν θεὸν**
καὶ **τοῖς μὴ ὑπακούουσιν** τῷ εὐαγγελίῳ τοῦ κυρίου
Is 2,10.19.21. 9 ἡμῶν Ἰησοῦ, οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώ-
νιον **ἀπὸ προσώπου τοῦ κυρίου καὶ ἀπὸ τῆς δόξης**
Kol 3,4. Ps 79,8; 68,36 Lxx. Is 49,3; 2,11.17. 10 **τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς
ἁγίοις αὐτοῦ** καὶ **θαυμασθῆναι** ἐν πᾶσιν τοῖς
πιστεύσασιν, ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν
11 ἐφ' ὑμᾶς, **ἐν τῇ ἡμέρᾳ ἐκείνῃ**. Εἰς ὃ καὶ προσευ-
χόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς
κλήσεως ὁ θεὸς ἡμῶν καὶ πληρώσῃ πᾶσαν εὐδο-
κίαν ἀγαθωσύνης καὶ ἔργον πίστεως ἐν δυνάμει,
Is 24,15; 66,5. Ml 1,11. 12 **ὅπως ἐνδοξασθῇ τὸ ὄνομα** τοῦ κυρίου ἡμῶν Ἰησοῦ
**ἐν ὑμῖν**, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ
θεοῦ ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
1 Th 4,13—17. 2 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρου-
σίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν
3,17. 2 ἐπισυναγωγῆς ἐπ' αὐτόν, εἰς τὸ μὴ ταχέως σαλευ-
θῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μηδὲ θροεῖσθαι, μήτε
διὰ πνεύματος μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς
ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ κυρίου.

---

4 h ενεχεσθε 8 W, εν φλογι πυρος δ. 10 επιστευθη : h[s] *fort pro* επιστωθη 2,1 ημων 1[o] : [H]—W 2 κυριου : h.—W,

---

4 καυχασθαι 8 εν : pr και 9 ολεθριον 10 πιστευουσιν 11 πληρωσει 12 Ιησου 1[o] : + Χριστου 2.2 μητε θρ.

μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· 3 1 T 4,1. 1 J 2,18; 4,3.
ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀπο-
καλυφθῇ ὁ ἄνθρωπος τῆς ἀνομίας, ὁ υἱὸς τῆς
ἀπωλείας, ὁ ἀντικείμενος **καὶ ὑπεραιρόμενος ἐπὶ** 4 Dn 11,36. Ez 28,2.
**πάντα** λεγόμενον **θεὸν** ἢ σέβασμα, ὥστε αὐτὸν
**εἰς τὸν** ναὸν **τοῦ θεοῦ καθίσαι**, ἀποδεικνύντα ἑαυ-
τὸν ὅτι ἐστὶν **θεός**. Οὐ μνημονεύετε ὅτι ἔτι ὢν 5
πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν; καὶ νῦν τὸ κατέ- 6
χον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ
αὐτοῦ καιρῷ. τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται 7 Act 20,29.
τῆς ἀνομίας· μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου
γένηται. καὶ τότε ἀποκαλυφθήσεται **ὁ ἄνομος**, 8 Is 11,4. Job 4,9. Ap 19,15.20.
ὃν ὁ κύριος Ἰησοῦς **ἀνελεῖ τῷ πνεύματι τοῦ στό-
ματος αὐτοῦ** καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς
παρουσίας αὐτοῦ, οὗ ἐστιν ἡ παρουσία κατ᾽ ἐνέρ- 9 Mt 24,24. Ap 13,11—13.
γειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις
καὶ τέρασιν ψεύδους ¹ καὶ ἐν πάσῃ ἀπάτῃ ἀδικίας 10 2 K 2,15; 4,3.
τοῖς ἀπολλυμένοις, ἀνθ᾽ ὧν τὴν ἀγάπην τῆς ἀλη-
θείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς. καὶ 11 R 1,28. 2 T 4,4.
διὰ τοῦτο πέμπει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλά-
νης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κρι- 12
θῶσιν ἅπαντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ
ἀλλὰ εὐδοκήσαντες τῇ ἀδικίᾳ.

Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάν- 13 1,3. E 1,4. Dt 33,12.
τοτε περὶ ὑμῶν, ἀδελφοὶ **ἠγαπημένοι ὑπὸ κυρίου**,
ὅτι εἵλατο ὑμᾶς ὁ θεὸς ἀπ᾽ ἀρχῆς εἰς σωτηρίαν
ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει ἀληθείας, εἰς 14
ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς
περιποίησιν δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ. Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε 15 3,6.

---

*3 ανομιας* : **h**RW *αμαρτιας*  *4* HW *ἔστιν* | H *θεός* —. *6* W *εαυτον*  *8 Ιησους* : [H]—W | **h** *αναλοι*  *12* ℌW *παντες* *13* **h**W *απαρχην*  *14 εις ο* : TW+ *και*

---

*4 θεου : + ως θεον*  *5 ετι εμου οντος*  *8 αναλωσει* *10 της αδικ. εν τ.* | *αληθ. : + Χριστου*  *11 πεμψει* *12 ευδοκ. : + εν*  *14 υμας : ημας*

τὰς παραδόσεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου
16 εἴτε δι' ἐπιστολῆς ἡμῶν. Αὐτὸς δὲ ὁ κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς καὶ ὁ θεὸς ὁ πατὴρ ἡμῶν, ὁ
ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ
17 ἐλπίδα ἀγαθὴν ἐν χάριτι, παρακαλέσαι ὑμῶν τὰς
καρδίας καὶ στηρίξαι ἐν παντὶ ἔργῳ καὶ λόγῳ
ἀγαθῷ.

Kol 4,3. 3 Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν,
ἵνα ὁ λόγος τοῦ κυρίου τρέχῃ καὶ δοξάζηται κα-
2 θὼς καὶ πρὸς ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν
ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων
1 Th 5,24. 3 ἡ πίστις. Πιστὸς δέ ἐστιν ὁ κύριος, ὃς στηρίξει
2 K 7,16. 4 ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. πεποίθαμεν
G 5,10. δὲ ἐν κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν [καὶ]
5 ποιεῖτε καὶ ποιήσετε. Ὁ δὲ κύριος κατευθύναι
ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ καὶ
εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

Mt 18,17. 6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι
R 16,17. τοῦ κυρίου [ἡμῶν] Ἰησοῦ Χριστοῦ, στέλλεσθαι
ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦν-
τος καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρελάβοσαν
1 Th 1,6. 7 παρ' ἡμῶν. αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι
1 K 4,12. 8 ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, ¹οὐδὲ δωρεὰν
1 Th 2,9. Ph 3,17. ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ
μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ
Mt 10,10. 9 μὴ ἐπιβαρῆσαί τινα ὑμῶν· οὐχ ὅτι οὐκ ἔχομεν
1 K 4,16. ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς
Gn 3,19. 10 τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς,
τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει
11 ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀκούομεν γάρ τινας

---

*16* H [ο] θεος *16.17* W αγαθην, εν χαριτι π. (sic) 3,4 [και] : W—T *6* [ημων] : hT—HW | ℵW παρελαβετε | παρ : W αφ

---

*16* ο πατ. : και πατ. 3,3 κυρ. : θεος *4* παραγγ. : + υμιν + και εποιησατε *8* νυκτα κ. ημεραν

*περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζο-*
*μένους ἀλλὰ περιεργαζομένους· τοῖς δὲ τοιούτοις* 12 1 Th 4,11. 8.
*παραγγέλλομεν καὶ παρακαλοῦμεν ἐν κυρίῳ Ἰησοῦ*
*Χριστῷ ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυ-*
*τῶν ἄρτον ἐσθίωσιν. Ὑμεῖς δέ, ἀδελφοί, μὴ* 13 G 6,9.
*ἐγκακήσητε καλοποιοῦντες. εἰ δέ τις οὐχ ὑπα-* 14 6. 1 K 5,9.11.
*κούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον*
*σημειοῦσθε, μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐν-*
*τραπῇ· καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθε-* 15
*τεῖτε ὡς ἀδελφόν. Αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης* 16
*δῴη ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ.*
*ὁ κύριος μετὰ πάντων ὑμῶν.*
*Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστιν* 17 2,2. 1 K 16,21.
*σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτως γράφω. ἡ χάρις* 18
*τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων*
*ὑμῶν.*

---

*13* H *ενκακησητε* *14* T *σημειουσθε· μη συναναμιγνυσθε*
**1,4** *οικονομιαν* : h[r] *οικοδομην*

---

*12 διὰ του κυριου ημων Ι. Χριστου* *14 ημων : υμων* |
*μη* : pr *και* *16 τοπω* *18* fin + *αμην*
[Subscriptio: *εγραφη απο Αθηνων vl Ρωμης vl* e Laodicea Pisidiae | *δια Τυχικου vl δια Σιλουανου και Τυχ.*]

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/